νῆς, ὀδυρώμεθα. μιμησώμεθα οὖν τὴν συναυλίαν ὀλύμπου. Μῦ μῦ.] τοῦτο ὁμοφωνοῦσιν ἀμφότεροι μύζοντες. τοῦτο δὲ ὡς θρηνητικόν. ἔστι δὲ ἴαμβος ἔχων τὸ μὲν πρῶτον βραχύ. τὸ δὲ δεύτερον μακρόν. Τί κινυρόμεθα.] τί δακρύομεν, καὶ ὀδυρόμεθα εἰς κενὸν καὶ ἀνωφελές.

Bisetus. Κινυρόμεθα.] Εὐστάθιος. κινύρεσθαι, τὸ ὑπομιλέειν. κυρίως δὲ κινύρεσθαι, τὸ κινύρᾳ χρώμενον μέλπειν ἐπὶ τοῖς νεκροῖς ᾠδάς. κινύρα δὲ παρὰ τῷ Σουίδᾳ ὄργανον μουσικόν, ἢ κιθάρα, παρὰ τὸ κινεῖν τὰ νεῦρα.

Σχόλια. Οὐκ ἔχρῆν ζητεῖν τινα.] ἡμεῖς δὲ ἀπαλλα- B

A γέντες τοῦ δακρύων, βουλευσόμεθα τίνα τρόπον ἀπαλλαγησόμεθα τῶν τοῦ Κλέωνος κακῶν. αὐτὸς γὰρ μέλλει τὴν τοῦ ἀποδρᾶναι γνώμην εἰσηγεῖσθαι. ζητεῖν δὲ πολυπραγμονεῖν καὶ σκοπεῖν. Τίς οὖν γένοιτ' ἂν λέγε σύ.] τίς οὖν ἀφορμὴ γένοιτο λέγε σύ. πρὸς τὴν ἐπερώτησιν τοῦ ἑτέρου, ὁ ἕτερος πάλιν ἀπεκείνατο. ἑκάτερος δὲ εὐλαβῶς ἔχει τοῦ εἰπεῖν, διὰ τὸ φοβεῖσθαι δῆθεν τὸν Κλέωνα. καθ' οὗ συντάττουσι τὴν ἐπιβουλήν. φιλονεικοῦσιν οὖν τίς πρῶτος εἴπῃ. Σὺ μὲν οὖν λέγε.] ἀντὶ τοῦ σὺ εἰπέ. ἵνα εἰπόντος σου, μὴ μαχήσωμαί σοι, μὴ δὲ ἀντιλέξω. ἢ οὕτως. σὺ λέγε. ἵνα μὴ εἴπω πρῶτος, καὶ φθονῶν ἀντείπῃς. κἀγώ σοι μάχωμαι.

Δημοσθ. Πῶς ἂν σύ μοι λέξειας, ἅ με χρὴ λέγειν.
Νικ. Ἀλλ' οὐκ ἔνι μοι τὸ θρέττε, πῶς ἂν οὖν ποτε
Εἴποιμ' ἂν αὐτὸ δῆτα κομψευριπιδικῶς;
Δημοσθ. Μή μοί γε μή μοι, μὴ διασκανδικίσῃς,
Ἀλλ' εὑρέ τιν' ἀπόκινον ἀπὸ τοῦ δεσπότου.
Νικ. Λέγε δὴ μόλωμεν ξυνεχὲς ὡδὶ ξυλλαβών.
Δη. Καὶ δὴ λέγω, μόλωμεν Νι. ἐξόπισθέ νυν
Αὐτὸ φάθι τοῦ μόλωμεν. Δημ. αὐτό. Νικ. πάνυ καλῶς,
Ὥσπερ δεφόμενος νῦν ἀτρέμα πρῶτον λέγε,
Τὸ μόλωμεν. εἶτα δ' αὐτὸ κατεπάγων πυκνόν.
Δημοσθ. Μόλωμεν αὐτό. μόλωμεν, αὐτομολῶμεν. Νι. ἰοῦ
Οὐχ ἡδύ; Δη. νὴ Δία, πλήν γε περὶ τῷ δέρματι
Δέδοικα τουτονὶ τὸν οἰωνόν. Νι. τί δαί;
Δη. Ὅτι ἣ τὸ δέρμα τῶν δεφομένων ἀπέρχεται.

*DE. Eadem tu dicas mihi, quæ me vis dicere.*
*NI. At nulla inest mihi confidentia: quomodo*
*Igitur hoc Euripidice, & sat comtè eloquar?*
*DE. Ne mihi, ne (inquam) isthuc: ne quem scandicem mihi*
*Hic vendites: sed inueni viam fugæ*
C *Ab hero. NI. dic ergo hanc continenter voculam,*
*Fugiamus. DE. age, dico: fugiamus. NI. nunc item*
*Post fugiamus dic trans. DE. trans. NI. rectè admodum*
*Nunc, vt pudenda vellicantes assolent,*
*Remisse primùm dic, fugiamus, postea*
D *Illud trans infer, & repete creberrimè.*
*DE. Fugiamus trans, fugiamus, transfugiamus. NI. an*
*Non suaue hoc? DE. per Iouem: nisi, quòd præputio*
*Nunc metuo, propter hoc augurium. NI. cur ita?*
*DE. Nam vellicantibus abscedit præputium.*

Σχόλια. Ἃ με χρὴ λέγειν.] ἅ τινά με χρή φησιν εἰπεῖν. εἴθε περὶ τούτων ἤκουσα παρὰ σοῦ λεχθέντων. τοῦτο δὲ εἶπε διὰ τὸ φοβεῖσθαι λέγειν. ἔστι δὲ παρὰ τὸ ἐν Ἱππολύτῳ Εὐριπίδου ὑπὸ τῆς Φαίδρας πρὸς τὴν τροφὸν εἰρημένον οὕτως ἀποκεινομένην. οὐ μάντις εἰμὶ τἀφανῆ γνῶναι σαφῶς. Ἀλλ' οὐκ ἔνι μοι τὸ θρέττε.] ἀντὶ τοῦ τὸ θαρσαλέον. οὐδὲ τὸ τυχὸν ἔχων φησὶ περὶ τούτων εἰπεῖν. θρέττε δὲ βαρβαρισμός, ἀντὶ τοῦ θαρρεῖν. παρὰ τὸ θρασὺ καὶ ἀνδρεῖον. οὐκ ἔστιν οὖν εἰπεῖν ὃ σὺ διανοῇ. ἠρνήσατο δὲ, ἵνα εἰς ἀνάγκην τὸν ἕτερον καταστήσῃ. πρὸς τὸ συνθέσθαι τι καὶ συμβουλεῦσαι. τὸ δὲ πῶς ἂν οὖν ποτε, ἀντὶ τοῦ οὐ θαρρῶ φησιν εἰπεῖν, οὐδὲ τυχόν. βαρβαρίζει δὲ ὡς δοῦλος. Κομψευριπιδικῶς.] ἀντὶ τοῦ εὐριπιδικῶς, καὶ δεινῶς. διὸ πανούργως. κομψοὶ δὲ παρὰ τοῖς ἀρχαίοις ἐλέγοντο οἱ πανοῦργοι. φησὶν οὖν πῶς ἂν τις εἴποι περιεσταλμένως καὶ λεληθότως. οἱονεὶ μὴ φανερῶς. Μὴ διασκανδικίσῃς.] διευριπιδίσῃς. ἡ γὰρ μήτηρ Εὐριπίδου, σκάνδικας ἐπίπρασκεν. ὅ ἐστιν ἄγρια λάχανα. ἄλλως. μὴ ἀποδειλιάσῃς. μὴ μεταμελήσῃς. σκώπτει δὲ τὸν Εὐριπίδην, ὡς λαχανοπώλιδος υἱόν. σκάνδιξ γὰρ, εἶδος λαχάνου. Ἀπόκινον.] φυγὴν. ἀποχώρησιν. ἔστι δὲ καὶ εἶδος ὀρχήσεως φορτικῆς. οἱ δὲ μέλος. καὶ ὁ βαυκισμός. Λέγε δὴ μόλωμεν.] τινὲς τὸ μόλωμεν προπερισπῶσι. προσποιεῖται δὲ, ὑποτίθεσθαι φεύγειν αὐτόν. καὶ λέγειν αὐτομολήσωμεν πρὸς τοὺς Λακεδαιμονίους, αὐτὸς παραιτούμενος λέγειν. αὐτομολῆσαι δέ ἐστι τὸ προδοῦναι τοὺς ἰδίους καὶ ἐᾶσαι καὶ ἀπελθεῖν πρὸς τοὺς ἐναντίους ἐπὶ συμμαχίᾳ. Ἐξόπισθέ νυν] κατόπιν. τουτέστι πρόστασσε τὸ μόλωμεν, τοῦ αὐτό. εἶτα πάλιν τοῦ μόλωμεν τὸ αὐτό. βούλεται δὲ λέγειν, αὐτομολήσωμεν πρὸς τοὺς Λακεδαιμονίους. αἰνιγματωδῶς δὲ μετὰ διασταγμοῦ λέγει, ποιῶν ἐκεῖνον συνάπτειν τὰς λοιπὰς αὐτοῦ συλλαβάς. τὸ δὲ φάθι ἀπὸ τοῦ φημὶ φήσω. ἔφην. φὰς φάντος. φάθι. ὅπερ ὁ μὲν Ἀπολλώνιος ὀξύνει. ὁ δὲ Ἡρωδιανὸς βαρύνει. παραλόγως γὰρ ὀξύνεται. Ὥσπερ δεφόμενος.] ἀντὶ τοῦ ἀποδέρων τὸ αἰδοῖον. οἱ γὰρ ἁπτόμενοι τῶν αἰδοίων, οὐχ ὡς ἤρξαντο, ἀλλὰ σπουδαιότερον κινοῦσι ἐκπυρούμενοι τῇ συνεχείᾳ τῆς κινήσεως, πρὸς τῇ τῆς γονῆς ἐκκρίσει. τοῦτο οὖν λέγει ὅτι πρῶτον κατὰ μικρὸν, εἶτα συνεχῶς λέγε. Αὐτό. μόλωμεν. αὐτομολῶμεν.] ὡς ἐπιλαμβανόμενος αὐτοῦ τοῦτο λέγει. αὐτομολεῖν δὲ, τὸ πρὸς τοὺς πολεμίους ἀπελθεῖν. Ἦν οὐχ ἡδύ.] ἰδοὺ ἐρωτηματικόν. λέγει δὲ οὐκ ἔστιν ἡδὺ τὸ αὐτομολῶμεν; ἔθος δὲ ἦν καὶ τὸ παρὰ τοὺς πολεμίους φεύγειν, εἰ πάσχοιεν τι κακὸν ὑπὸ τοῦ δεσπότου. τὸ δὲ φεύγειν, αὐτομολεῖν λέγουσιν Ἀθηναῖοι. ἄλλως. ὁ τὴν γνώμην λέγων ἐφίστησι τῷ λόγῳ αἰσθανόμενος τοῦ ῥήματος, ὡς ἐξηπατημένος καὶ παρακεκρουσμένος εἰπεῖν τὸ αὐτομολήσωμεν. ἄλλως. μὴ οὐ καλόν. οὐ πρὸς ἡδονὴν ἀποδοκιμάσω σου τὴν συμβουλὴν. τὸν οἰωνὸν δὲ τὸ σημεῖον. Ὅτι ἣ τὸ δέρμα.] ὅτι ὥσπερ τῶν δεφομένων τὸ δέρμα ἀπέρχεται, οὕτω καὶ τῶν αὐτομολούντων. Τῶν δεφομένων.] τῶν ἀποδερομένων τὸ αἰδοῖον, ὑποχωρεῖ ὄπισθεν. μή πως οὖν καὶ ἡμᾶς νοήσαντες οἱ Ἀθηναῖοι φεύγοντας κρατήσωσι καὶ ἀποδέρωσι.

Bb